eul_wid: hmg-aa

*Κρατῖνος ὁ Νεώτερος* · Cratinus the Younger

# Fragments of Comic Banter

*Ἀποσπάσματα κωμικῆς σκώψεως*

**Period:** *Κλασική* Classical
**Dialect:** *Ἀττική* Attic (com, frg)
**Domain:** *Κωμῳδία* Comedy
**Format:** *Ἔμμετρος* Verse

book 1.1 ἐνθυμεῖ δὲ τῆς γῆς ὡς γλυκὺ ὄζει, καπνός τ’ ἐξέρχετ’ εὐωδέστερος; οἰκεῖ τις ὡς ἔοικεν ἐν τῷ χάσματι λιβανωτοπώλης ἢ μάγειρος

book 1.2 Σικελικός.[ln_5][παραπλησίαν ὀσμὴν λέγεις ἀμφοῖν γλυκύς.]

book 2.1 ὡς

book 2.2 σφόδρ’ εἴς’ Αἰγυπτιώδεις· Σωχάρης, Παамύλης.

book 4 πίνειν μένοντα τὸν καλῶς εὐδαίμονα κρεῖττον· μάχαι δ’ ἄλλοισι καὶ πόνοι μέλοι.

book 5 ὑμεῖς δ’ ἐὰν ἱππίσκον ἢ τρίμιτον ἔχητε

book 7.1 ἔθος ἐστὶν αὐτοῖς, ἄν

book 7.2 τιν’ ἰδιώτην

book 7.3 ποθὲν λάβωσιν εἰσελθόντα, διαπειρώμενον τῆς τῶν λόγων ῥώμης

book 7.4 ταράττειν καὶ κυκᾶν

book 7.5 τοῖς ἀντιθέτοις, τοῖς πέρασι, τοῖς

book 7.6 παρισώμασιν,[ln_5]τοῖς ἀποπλάνοις, τοῖς μεγέθεσιν νουβυστικῶς.

book 8.1 Κόρυδον τὸν

book 8.2 χαλκοτύπον

book 8.3 πεφύλαξο, ἢν μή σοι νομιεῖς αὐτὸν μηδὲν καταλείψειν, μηδ’ ὄψον κοινῇ μετὰ τούτου πώποτε δαίσῃ τοῦ Κορύδου· προλέγω

book 8.4 σοι· ἔχει γὰρ

book 8.5 χεῖρα κραταιάν,[ln_5]χαλκῆν, ἀκάματον, πολὺ κρείττω

book 8.6 τοῦ πυρὸς αὐτοῦ.

book 9.1 πολλοστῷ δ’ ἔτει ἐκ τῶν

book 9.2 πολεμίων οἴκαδ’ ἥκων, ξυγγενεῖς καὶ φράτερας καὶ δημότας εὑρὼν μόλις, εἰς τὸ κυλικεῖον ἐνεγράφην· Ζεὺς ἔστι μοι[ln_5]ἑρκεῖος, ἔστι

book 9.3 φράτριος, τὰ τέλη

book 9.4 τελῶ.

book 10.1

[spk_β]ἄνθρωπος εἶ δηλονότι καὶ ψυχὴν ἔχεις; Β. κατὰ μὲν

book 10.2 Πλάτων’ οὐκ οἶδ’, ὑπονοῶ δ’ ὧδ’ ἔχειν.

book 11 βυβλιοθήκη

book 12.1 [spk_β]εἰς ἐγγύας

book 12.2 τρεῖς εἰσπεσὼν ἀνηρέθην. Β. οὔπω τότ’ ἐν Δελφοῖσιν ἦν τὰ γράμματα τὴν ἐγγύην ἄτην λέγοντ’; Α. ἦν· ἀλλ’ ἐγὼ φιλέταιρον εἶχον ἦθος.

book 13 καρῖδας ἡ ζὰψ ἐκφέρει κἰχθύδια.

book 14 παρ’ Ἀρχεφῶντος ἡδυπότιδας δώδεκα

Eulogikon public reading copy · View original HTML at eulogikon.org